58.

Ἕτερος τοιοῦτος, ἐν ᾧ ἀναγινώσκονται·

ΑΣΚΛΗΠΙΩ
ΣΩΤΗΡΙ
Ε ΟΒ
ΙΕ

Ἀσκληπιῷ σωτῆρι ε . . . . [τ]ὸ Β'. ἱε[ρεὺς].

Ὕψ. 0,38. πλ. 0,18. πχ. 0,18. Μῆκος γραμ. 0,02.

Οἱ δύο οὗτοι βωμίσκοι ἐφθάρησαν ἐντετειχισμένοι ὄντες ἐν μεταγενεστέρῳ οἰκήματι πλησίον τοῦ ναοῦ τοῦ Ἀσκληπιοῦ.

Ἐκ τοῦ ἱεροῦ τοῦ Ἀσκληπιοῦ τῇ 8η Σεπτεμβρίου 1883.

Π. Καββαδιας.

---

# ΕΠΙΓΡΑΦΑΙ ΤΑΝΑΓΡΑΣ ΚΑΙ ΔΕΛΦΩΝ.

## Α'.

Θ Ο Ι Ν Ι Α Σ Τ Ε Ι Σ Ι Κ Ρ Α Τ Ο Υ Σ

Ε Π Ο Ι Η Σ Ε

ΑΠΟΛΛΟΔΩΡΩΑΡΧΟΝΤΟΣ
ΤΩΟΥΣΣΤΕΡΩΠΡΟΞΕΝΙΗ
ΙΠΠΟΔΡΟΜΙΩΕΣΚΗΔΕΚΑ
ΤΗΕΠΕΨΑΦΙΔΔΕΘΙΟΓΙ
ΤΩΝΜΝΑΜΟΝΟΣΑΝΤΙΓΩΝ
ΟΓΧΗΣΤΟΔΩΡΩΕΛΕΞΕ
ΠΡΟΒΕΒΩΛΕΥΜΕΝΟΝΕΙΜΕΝ
ΑΥΤΥΠΟΤΤΟΝΔΑΜΟΝΠΡΟ
ΞΕΝΟΝΕΙΜΕΝΚΗΕΥΕΡΓΕ
ΤΑΝΤΑΣΠΟΛΙΟΣΤΑΝΑΓΡΕΙ
ΩΝΑΠΟΛΛΩΝΙΟΝΜΕΝΕΚΡΑ
ΤΙΟΣΤΗΙΟΝΑΥΤΟΝΚΗΕΚ
ΓΟΝΩΣΚΗΕΙΜΕΝΑΥΤΥΣ
ΓΑΣΚΗΥΚΙΑΣΕΠΠΑΣΙΝΚΗ
FΙΣΟΤΕΛΙΑΝΚΗΑΣΦΑΛΙΑΝ
ΚΗΑΣΟΥΛΙΑΝΚΗΠΟΛΕΜΩ
ΚΗΙΡΑΝΑΣΙΩΣΑΣΚΗΚΑΤΑ
ΓΑΝΚΗΚΑΤΑΘΑΛΑΤΤΑΝ.Η
ΤΑΛΛΑΠΑΝΤΑΟΠΟΤΤΑΚΗΤΥΣ
ΑΛΛΥΣΠΡΟΞΕΝΥΣΚΗΕΥΕΡΓΕ
ΤΗΣ

ΤΙΜΩΝΟΣΑΡΧΟΝΤΟΣΜΗΝΟΣΔΑΜΑΤΡΙΩΝΟΥΜΗΝΙΗΕΠΕΨΑ
ΦΙΔΔΕΑΠΟΛΛΟΔΩΡΟΣΑΣΩΠΩΝΟΣΚΛΙΟΝΙΚΟΣΑΝΤΙΠΑ
ΤΡΩΕΛΕΞΕΔΕΔΟΧΘΗΤΥΔΑΜΥΠΡΟΞΕΝΩΣΗΜΕΝΚΗΕΥΕΡΓΕ
ΤΑΣΤΑΣΠΟΛΙΟΣΤΑΝΑΓΡΕΙΩΝΔΑΜΑΤΡΙΟΝΠΑΣΙΚΡΑΤΗΝ
ΔΙΟΔΟΤΟΝΗΡΑΚΛΙΔΑΟΚΟΥΖΙΚΗΝΩΣΑΥΤΩΣΚΗΕΣΓΟΝΩΣ
ΚΗΕΙΜΕΝΑΥΤΥΣΓΑΣΚΗFΥΚΙΑΣΕΠΠΑΣΙΝΚΗFΙΣΟΤΕΛΙΑΝΚΗΑΣ
ΦΑΛΙΑΝΚΗΑΣΟΥΛΙΑΝΚΗΠΟΛΕΜΩΚΗΙΡΑΝΑΣΙΩΣΑΣΚΗΚ.
ΤΑΓΑΝΚΗΚΑΤΑΘΑΛΑΤΤΑΝΚΗΤΑΛΛΑΠΑΝΤΑΚΑΘΑΠΕΡ . . . . .
ΑΛΛΥΣΠΡΟΞΕΝΥΣΚΗΕΥΕΡΓΕΤΗΣ

ΤΙΜΩΝΟΣΑΡΧΟΝΤΟΣΜΕΙΝΟΣΔΑΜΑΤΡΙΩΝΕΥΜΕΙΝΙΗΕΠΕ



Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 22:47:06 EEST - 18.118.12.54

ΨΑΦΙΔΔΕΑΠΟΛΛΟΔΩΡΟΣΑΣΩΠΩΝΟΣΚΛΙΟΝΙΚΟΣΑΝΤΙ
ΠΑΤΡΩΕΛΕΞΕΔΕΔΟΧΘΗΤΟΙΔΑΜΟΙΠΡΟΞΕΝΟΝΗΜΕΝΚΗ
ΕΥΕΡΓΕΤΑΝΤΑΣΠΟΛΙΟΣΤΑΝΑΓΡΗΩΝΙΣΤΙΗΟΝΑΡΙΣΤΩ
ΝΟΣΜΙΛΗΣΙΟΝΑΥΤΟΝΚΗΕΣΓΟΝΩΣΚΗΕΙΜΕΝΑΥΤΥΣΓΑΣ
ΓΑΣΚΗFΥΚΙΑΣΕΠΠΑΣΙΝΚΗFΙΣΟΤΕΛΙΑΝΚΗΑΣΦΑΛΙΑΝ
ΚΗΑΣΟΥΛΙΑΝΚΗΠΟΛΕΜΩΚΗΙΡΑΝΑΣΙΩΣΑΣΚΗΚΑΓΑΝΚΗ
ΚΑΤΑΘΑΛΑΤΑΝΚΗΤΑΛΛΑΠΑΝΤΑΚΑΘΑΠΕΡΚΗΤΥΣ
ΑΛΛΥΣΠΡΟΞΕΝΥΣΚΗΕΥΕΡΓΕΤΗΣ

Θ ο ι ν ί α ς Τ ε ι σ ι κ ρ ά τ ο υ ς

ἐ π ο ί η σ ε

Ἀπολλοδώρω ἄρχοντος τῶ ούσστέρω. Προξενίη. Ἱπποδρομίω ἐςκηδεκάτη, ἐπεψάφιδδε Θιογίτων Μνάμονος, Ἀντίγων Ὀγχηστοδώρω ἔλεξε, προβεβωλευμένον εἶμεν αὐτῦ ποττὸν δᾶμον, πρόξενον εἶμεν κὴ εὐεργέταν τᾶς πόλιος Ταναγρείων Ἀπολλώνιον Μενεκράτιος Τήϊον, αὐτὸν κὴ ἐκγόνως, κὴ εἶμεν αὐτῦς γᾶς κὴ ὑκίας ἔππασιν κὴ Fισοτελίαν κὴ ἀσφαλίαν κὴ ἀσουλίαν, κὴ πολέμω κὴ ἰράνας ἰώσας, κὴ κατὰ γᾶν κὴ κατὰ θάλατταν[κ]ὴ τᾶλλα πάντα ὁπόττα κὴ τῦς ἄλλυς προξένυς κὴ εὐεργέτης.

Τίμωνος ἄρχοντος, μηνὸς Δαματρίω νουμηνίη, ἐπεψάφιδδε Ἀπολλόδωρος Ἀσώπωνος, Κλιόνικος Ἀντιπάτρω ἔλεξε, δεδόχθη τῦ δάμυ προξένως ἦμεν κὴ εὐεργέτας τᾶς πόλιος Ταναγρείων, Δαμάτριον, Πασικράτην, Διόδοτον Ἡρακλίδαο Κουζικηνὼς, αὐτὼς κὴ ἐσγόνως, κὴ εἶμεν αὐτῦς γᾶς κὴ Fυκίας ἔππασιν κὴ Fισοτελίαν κὴ ασφαλίαν κὴ ἀσουλίαν, κὴ πολέμω κὴ ἰράνας ἰώσας, κὴ κ[ατὰ γᾶν κὴ κατὰ θάλατταν κὴ τᾶλλα πάντα καθάπερ [κὴ τῦς ἄλλυς προξένυς κὴ εὐεργέτης.

Τίμωνος ἄρχοντος, μεινὸς Δαματρίω νευμεινίη, ἐπεψάφιδδε Ἀπολλόδωρος Ἀσώπωνος, Κλιόνικος Ἀντιπάτρω ἔλεξε, δεδόχθη τοῖ δάμοι πρόξενον ἦμεν κὴ εὐεργέταν τᾶς πόλιος Ταναγρήων Ἱστιῆον Ἀρίστωνος Μιλήσιον, αὐτὸν κὴ ἐςγόνως, κὴ εἶμεν αὐτῦς γᾶς ((γᾶς)) κὴ Fυκίας ἔππασιν κὴ Fισοτελίαν κὴ ἀσφαλίαν κὴ ἀσουλίαν, κὴ πολέμω κὴ ἰράνας ἰώσας, κὴ καγᾶν κὴ κατὰ θάλα(τ)ταν κὴ τᾶλλα πάντα καθάπερ κὴ τῦς ἄλλυς προξένυς κὴ εὐεργέτης.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 22:47:06 EEST - 18.118.12.54

Τ' ἀνωτέρω εἰσὶ γεγραμμένα ἐπὶ πλίνθου τετραγώνου, λίθου λευκοῦ, ἐχούσης τὸ ὀπίσω μέρος ἀποκεκρουσμένον. Ἔχει δὲ ὕψος 0,85, πλάτος 0,65 καὶ πάχος σωζόμενον 0,12. Ἐν τῇ ἄνω πλευρᾷ ἔχει περὶ τὸ μέσον τόρμον, δι' οὗ ἐγομφοῦτο μετ' ἄλλης πλίνθου. Τῶν δὲ δύο ἄλλων ἑκατέρωθεν πλευρῶν ἡ μὲν κατὰ δεξιὰ τῷ θεωμένῳ ἡνοῦτο μετ' ἄλλης πλίνθου, ἡ δὲ κατ' ἀριστερὰ καλῶς λελειασμένη ἦτο πρόσωπον. Ἡ πλίνθος αὕτη μετ' ἄλλων ἀπετέλει ποτὲ βάθρον, ἐφ' οὗ ἵστατο ἀνδριάς, καὶ ἔφερε μόνην τὴν ἐπιγραφὴν « Θοινίας Τεισικράτους ἐποίησε » τὰ δὲ ὑπ' αὐτὴν τρία προξενικὰ ψηφίσματα ἐνεχαράχθησαν κατόπιν. Ὁ Θοινίας ὡς τεχνίτης, καθ' ὅσον γνωρίζω, ἐν τῷ λίθῳ τούτῳ κατὰ πρῶτον παρουσιάζεται. Ἡ ἔμπροσθεν πλευρὰ, ἐφ' ἧς ἡ ἐπιγραφὴ, ἔχει πρὸς τὸ ἄνω χεῖλος καὶ τὸ κάτω ταινίαν ἐξέχουσαν πλάτους περὶ τὰ 0,10. Ἡ κάτω ταινία ἐστὶν ἀποκεκρουσμένη. Εὑρέθη κατὰ τὸν μάϊον τοῦ 1881 ἔξω τῆς μεγάλης πύλης τοῦ τείχους τῶν ἐρειπίων Τανάγρας, μακρὰν αὐτῆς περὶ τὰ 150 μ. γαλ. ἔνθα εὑρέθησαν καὶ πολλοὶ τάφοι (ὅρα Ἀθηναίου τομ. 9 σελ. 458-463). Εὑρέθη δὲ μετ' ἄλλων πλίνθων, ἐπιστυλίων καὶ δωρικῶν κιονοκράνων, λίθου πωρίνου, ὡς ἐπίστρωμα ἐμβαδοῦ οἰκίας μεταγενεστέρας ἐποχῆς.

Β'.

ΤΑΝΕΞΑΠΟΣΤΑΛΕΝΤΑ
ΜΕΑΣΠΟΛΙΤΑΤΟΥΑΣΑΝΔΡΟΥΝΙΚΑΡΕΤΟΥΤΟΥΑ...........ΤΟΥΠΟΛΕΜ . . .
ΕΙΜΕΡΙΝΩΝΣΩΤΗΡΙΩΝΩΣΤΕΚΑΤΑΓΩΝΙΞΑΣΘΑΙΤΩ . . . . . . . . . . . . ΙΕΤΗ ΣΥ . .
ΑΡΑΚΑΛΕΙΜΕΝΟΙΣΚΑΙΕΞΑΠΕΣΤΕΙΛΑΝΤΟΥΣΑΓΩΝΙΞΟΜΕ . . . . . . . ΩΙΔΩΡΕΑΝ . . . .
ΔΙΟΝΥΣΙΟΣΘΕΟΔΟΤΟΥΘΗΒΑΙΟΣ
ΚΙΘΑΡΩΙΔΟΣΤΥΡΑΝΝΙΑΣΑΥΤΟΜΗΔΟΥΣΘΗΒΑΙΟΣ
ΧΟΡΕΥΤΑΙ
ΞΕΝΩΝΔΩΡΟΥΘΗΒΑΙΟΣ
ΘΕΟΓΕΙΤΩΝΚΛΕΙΜΗΔΟΥΘΗΒΑΙΟΣ
ΗΓΕΜΩΝΠΑΙΣΑΡΙΣΤΩΝΣΤΡΑΤΩΝΟΣ
ΗΓΕΜΩΝΑΝΔΡΩΝΤΥΡΑΝΝΙΑΣ
ΧΟΡΕΥΤΑΙ
. ΘΗΝΟΚΛΗΣΞΕΝΟΚΛΕΟΥΣΘΗΒΑΙΟΣ
. . ΜΗΝΩΝΤΙΜΟΚΛΕΟΥΣΘΗΒΑΙΟΣ
. ΩΜΩΙΔΟΣΑΠΟΛΛΑΣΦΕΝΕΑΤΗΣ
ΣΥΝΑΓΩΝΙΣΤΑΙ
. ΩΤΕΛΗΣΘΕΟΚΡΙΤΟ.
ΧΟΡΕΥΤΑΙΚΩΜΩΙΔΟΥ
. ΕΝΟΛΑΟΣΣΩΣΙΚΡΑΤΕΟΣΟΠΟΥΝΤΙΟΣ
. ΥΡΤΩΝΜΗΝΟΦΙΛΟΥΘΗΒΑΙΟΣ
ΑΡΙΣΤΟΚΛΕΙΔΑΣΘΗΒΑΙΟΣ
ΜΕΝΕΚΡΑΤΗΣΣΩΠΑΤΡΟΥΘΗΒΑΙΟΣ

. . . . . . . . . . . . . . . . . . . . . . . . .
. . . . ]ταν ἐξαποσταλέντα[ . . . . . . . . . . . . . . . . .
. . . ]μεας, Πολίτα τοῦ Ἀσάνδρου, Νικαρέτου τοῦ Α[ . . . . . . . . ] τοῦ Πολεμ . . . . . .
. . . . χ]ειμερινῶν σωτηρίων, ὥστε καταγωνίξασθαι τω [ . . . . . . . . . . ]ΙΕΤΗ ΣΥ . . .
. . . . π]αρακαλειμένοις καὶ ἐξαπέστειλαν τοὺς ἀγωνιξομέ[νους . . . . . . ]ωιδωρεὰν . . . , .

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 22:47:06 EEST - 18.118.12.54

. . . . . . Διονύσιος Θεοδότου Θηβαῖος.
Κιθαρωιδὸς Τυραννίας Αὐτομήδους Θηβαίος.
Χορευταὶ
Ξένων Δώρου Θηβαῖος,
Θεογείτων Κλειμήδου Θηβαῖος,
Ἡγεμὼν παῖς Ἀρίστων Στράτωνος,
Ἡγεμὼν ἀνδρῶν Τυραννίας.
Χορευταὶ
Ἀ]θηνοκλῆς Ξενοκλέους Θηβαῖος,
Εὐ ; ] μήνων Τιμοκλέους Θηβαῖος,
Κ)ωμωιδὸς Ἀπολλᾶς Φενεάτης.
Συναγωνισταὶ
Σ]ωτέλης Θεοκρίτο(υ)
Χορευταὶ κωμωιδοῦ
Ξ]ενόλαος Σωσικράτεος Ὀπούντιος,
Μ]ύρτων Μηνοφίλου Θηβαῖος,
Ἀριστοκλείδας Θηβαῖος,
Μενεκράτης Σωπάτρου Θηβαῖος.

Τ' ἀνωτέρω εἰσὶ γεγραμμένα ἐπὶ πλίνθου τετραγώνου, λίθου σκληροῦ ἐγχωρίου, ἐχούσης κατὰ τὴν γραπτὴν πλευρὰν ἀποκεκρουσμένον τὸ ἄνω ἄκρον καὶ τὸ κατὰ δεξιὰ τῷ θεωμένῳ. Ἔχει ὕψος 0,57, πλάτος 0,75 καὶ μῆκος 1,35. Ἐν τῇ ἄνω πλευρᾷ, κατὰ τὸ ἀριστερὸν ἄκρον φέρει δύο μικροὺς τόρμους στρογγύλους. Κατὰ δὲ τὴν ὄπισθεν πλευρὰν ἡνοῦτο μετ' ἄλλης πλίνθου, ὡς ἐξάγεται ἐκ τῶν λελειασμένων ἄκρων αὐτῆς. Καὶ ἐν τῇ κάτω πλευρᾷ φέρει μικρὸν τετράγωνον τόρμον, δι' οὗ ἡνοῦτο μετ' ἄλλης.

Εὑρέθη κατὰ τὸν παρελθόντα σεπτέμβριον ἐντετειχισμένη ἐν μεταγενεστέρῳ τοίχῳ ἐν τῷ οἰκοπέδῳ τοῦ Χαραλάμπους Καράλλη, κειμένῳ πρὸς τὸ δυτικὸν ἄκρον τῶν Δελφῶν, ὀλίγα βήματα κάτωθι τῆς σημερινῆς ὁδοῦ. Πρὸς ἄρκτον τοῦ μεταγενεστέρου τοίχου, μακρὰν περὶ τὰ 6 μ. γαλ. ἀνεφάνη τοῖχος ἀρχαῖος πολυγώνιος, βαίνων ἐκ δυσμῶν πρὸς ἀνατολὰς κατ' εὐθεῖαν περίπου γραμμὴν πρὸς τὸν γνωστὸν ἐνεπίγραφον τοῖχον, τὸν κάτωθι τῶν ἐρειπίων τοῦ ναοῦ τοῦ Ἀπόλλωνος. Ἀνεφάνη δὲ τοῦ τοίχου μῆκος μὲν περὶ τὰ 12 μ. γαλ. ὕψος δὲ περὶ τὰ 2. Πρὸς ἄρκτον πάλιν τοῦ πολυγωνίου τούτου τοίχου, μακρὰν περὶ τὰ 12 μ. γαλ. ὑπάρχει ἕτερος τοῖχος πολυγώνιος βαίνων πρὸς ἀνατολὰς παραλλήλως τῷ πρώτῳ. Οἱ τοῖχοι οὗτοι ἴσως εἰσὶν ὑποστηρίγματα τῆς μεγάλης ὁδοῦ τῆς ἀρχομένης ἐκ τοῦ ἱεροῦ περιβόλου.

Ἐν τῷ αὐτῷ μεταγενεστέρῳ τοίχῳ, ἐν ᾧ εὑρέθη ἡ ἀνωτέρω πλίνθος, εὑρέθη καὶ ἑτέρα ἔχουσα 10 στίχους, ἧς ἀντίγραφον δὲν ἠδυνήθην νὰ λάβω ἕνεκα τοῦ στενοῦ χώρου, ἐν ᾧ εὑρίσκετο καὶ τῆς φθορᾶς τῶν γραμμάτων. Εἶναι δὲ ψήφισμα τιμητικόν.

## Γ'.

. . . . . . ΟΣΑΡΧΕΛΑΟΥΒΟΥΛΕΥΟΝΤΩΝΑ . . . . . . . .
. . . ΑΡΧΙΑΔΑΚΑΛΛΙΓΕΝΕΟΣΕΥΑΓΓΕΛΟΥΕΔΟ . . . . . . .
. . . . . . . ΩΝΕΝΑΓΟΡΑΙΤΕΛΕΙΩΙΣΥΜΨΑΦΟΙΣΤ . . . . . . . . . . . .
. . . . . . ΡΙΣΤΑΡΧΟΣΑΙΤΩΛΙΩΝΟΣΚΥΦΑΙΡΕΥΣΕΝ- . . . . . . . .

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 22:47:06 EEST - 18.118.12.54

....ΧΡΟΝΟΙΣΕΥΝΟΥΣΩΝΔΙΕΤΕΛΕΙΤΑΙΠΟΛΕΙ.......
...ΣΥΠΟΤΩΝΑΙΤΩΛΩΝΕΠΙΜΕΛΗΤΑΣΤΟΥΤΕΙΕΡ..........
..ΟΣΟΣΙΩΣΚΑΙΕΝΔΟΞΩΣΤΟΤΕΙΡΟΝΚΑΙΤΑΜΠΟΛΙΝ.......
..ΚΑΙΤΟΙΣΠΟΛΙΤΑΙΣΣΥΝΑΝΕΣΤΡΑΦΗΚΑΛΩΣΚΑΙΕΥΓΝ......
..ΙΤΑΝΤΕΥΠΑΡΧΟΥΣΑΝΟΜΟΝΟΙΑΝΠΟΤΙΤΕΑΥΤΟΣΑΥΤΟΥΣ......
.ΑΙΠΟΤΙΤΟΥΣΑΙΤΩΛΟΥΣΕΠΙΠΛΕΙΟΝΣΥΝΑΥΞΗΣΕΔΕΔΟΧΘ ....
.ΝΕΣΑΙΑΡΙΣΤΑΡΧΟΝΑΙΤΩΛΙΩΝΟΣΚΥΦΑΙΡΗΕΥΣΕΒΕΙΑΣΕΝΕΚΕΝ
...ΕΥΕΡΓΕΣΙΑΣΤΑΣΕΝΤΟΙΕΡΟΝΚΑΙΤΑΜΠΟΛΙΝΚΑΙΕΙΜΕΝΑΥΤΟΝΠ.
.ΞΕΝΟΝΤΑΣΠΟΛΙΟΣΚΑΙΕΚΓΟΝΟΥΣΥΠΑΡΧΕΙΝΔΕΑΥΤΩΙΚΑΙΕΚΓΟ
.ΟΙΣΠΡΟΜΑΝΤΕΙΑΝΑΣΥΛΙΑΝΑΤΕΛΕΙΑΝΠΡΟΕΔΡΙΑΝΕΜΠΑΣΙ
...ΣΑΓΩΝΟΙΣΟΥΣΑΠΟΛΙΣ..ΘΗΤΙΚΑΙΤΑΛΛΑΟΣΑΚΑΙΤΟΙΣΑΛ
....ΠΡΟΞΕΝΟΙΣΚΑΙΕΥ..ΓΕΤΑΙΣΤΟΥΙΕΡΟΥΚΑΙΤΑΣΠΟΛΙΟΣ
..ΣΘΑΙΔΕΑΥΤΩΙΕΚΓ.ΝΟΙΣΚΑΙΕΠΙΝΟΜΙΑΝΕΝΤΑΙΔΕΛ
....ΟΝΑΠΑΝΤΑΧ..ΝΟΝ

Ἄρχοντ]ος Ἀρχελάου, βουλευόντων Α . . . . . . .
. . . ]Ἀρχιάδα, Καλλιγένεος Εὐαγγέλου, ἔδο[ξε τᾶι πό-
λει Δελφ]ῶν ἐν ἀγορᾶι τελείωι σὺμ ψάφοις τ[αῖς ἐννόμοις· ἐ-
πειδὴ Ἀ]ρίσταρχος Αἰτωλίωνος Κυφαιρεὺς ἔν[τε τοῖς πρό-
τερον ]χρόνοις εὔνους ὢν διετέλει τᾶι πόλει[καὶ αἱρε-
θεὶ]ς ὑπὸ τῶν Αἰτωλῶν ἐπιμελητὰς τοῦ τε ἱερ[οῦ καὶ τᾶς πό-
λι]ος ὁσίως καὶ ἐνδόξως τό τε ἱερὸν καὶ τὰμ πόλιν [ ἐπεμελή-
θη :] καὶ τοῖς πολίταις συνανεστράφη καλῶς καὶ εὐγν[ωμόνως
κα]ὶ τάν τε ὑπάρχουσαν ὁμόνοιαν ποτί τε αὐτὸς αὐτοὺς[ Δελφοὺς
κ]αὶ ποτὶ τοὺς Αἰτωλοὺς ἐπὶ πλεῖον συναύξησε, δεδόχθ[αι ἐπα-
ι]νέσαι Ἀρίσταρχον Αἰτωλίωνος Κυφαιρῆ εὐσεβείας ἕνεκεν
καὶ] εὐεργεσίας τᾶς ἐν τὸ ἱερὸν καὶ τὰμ πόλιν καὶ εἶμεν αὐτὸν π[ρ
ό]ξενον τᾶς πόλιος καὶ ἐκγόνους· ὑπάρχειν δὲ αὐτῶι καὶ ἐκγό-
ν]οις προμαντείαν, ἀσυλίαν, ἀτέλειαν, προεδρίαν ἐμ πᾶσι
τοῖ]ς ἀγώνοις, οὓς ἁ πόλις [τί]θητι καὶ τἆλλα, ὅσα καὶ τοῖς ἄλ-
λοις] προξένοις καὶ εὐ[ερ]γέταις τοῦ ἱεροῦ καὶ τᾶς πόλιος.
Δεδό]σθαι δὲ αὐτῶι (καὶ) ἐκγ[ό]νοις καὶ ἐπινομίαν ἐν τᾶι Δελ-
φῶν πόλει τ]ὸν ἅπαντα χ[ρό]νον.

Τ' ἀνωτέρω εἰσὶ γεγραμμένα ἐπὶ πλίνθου τετραγώνου, λίθου φαιοῦ, ὕψους 0,75, πλάτους 0,75 καὶ πάχους 0,45· ἀποκεκρουσμένον ἐχούσης τὸ ἄνω μέρος της γραπτῆς πλευρᾶς, τὸ κατὰ δεξιὰ καὶ ἀριστερὰ τῷ θεωμένῳ. Ἦτο ἐντετειχισμένη ἐν τῇ μεσημβρινῇ πλευρᾷ τῆς οἰκίας τοῦ Γεωργίου Δήμου Λέφα, κειμένης ὀλίγα βήματα πρὸς ἀνατολὰς τοῦ οἰκοπέδου τοῦ Χαραλάμπους Καράλλη, ἐν ᾧ εὑρέθη ἡ προηγουμένη ἐπιγραφή. Μόνον οἱ τρεῖς πρῶτοι στίχοι ἐφαίνοντο. Ἐξετειχίσθη ἐκεῖθεν καὶ ἀντεγράφη. Ἐν τῇ ἄνω ἐπιφανείᾳ σώζει δύο μικροὺς τόρμους τετραγώνους· ἐν δὲ τῇ κάτω φέρει τρεῖς ὁμοίους. Ἡ κατ' ἀριστερὰ τῷ θεωμένῳ πλευρὰ εἶναι καλῶς λελειασμένη καὶ φέρει πρὸς τὸ ἄνω ἄκρον μικρὸν τετράγωνον ἐξόγκωμα. Ἡ δὲ κατὰ δεξιὰ καὶ ἡ κάτω ἡνοῦντο μετ' ἄλλων πλίνθων, ὡς ἐξάγεται ἐκ τῶν καλῶς λελειασμένων ἄκρων αὐτῶν.

Π. Σταματακης

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 22:47:06 EEST - 18.118.12.54